σπεύδω, σπεύσω, ἔσπευσα,	*to hasten, to press on.*
στερρῶς, adverb (**στερρός**, *firm*)	*resolutely.*

Exercises.

I. 1. *ἥδιον καὶ προθυμότερον συνεπορεύοντο.* 2. *ἐξελαύνει σταθμὸν ἕνα, παρασάγγας ὀκτώ.*

3. καὶ ἰσχυρῶς ἀλλήλων[2] ἐπεμέλοντο. 4. Κῦρος ἐπορεύετο ἡμελημένως[3] μᾶλλον. 5. πολὺ γὰρ τῶν ἵππων ἔτρεχον θᾶττον. 6. ἔλεγον δὲ τῷ βασιλεῖ ὅτι δικαίως ἂν μοι χαρίζοιτο.[4]

II. 1. στερρῶς πολλῶν ἀγαθῶν ἀπειχόμεθα. 2. ἥδιστ' ἂν ἀκούσαιμι τοὔνομα.[5] 3. πολὺ δὲ μᾶλλον ἔσπευδεν. 4. οὐκ ἐπόνησαν τῶν ἄλλων πλέον στρατιωτῶν. 5. τῶν δὲ πλευρῶν[6] ἑκατέρων δύο τὼ πρεσβυτάτω στρατηγὼ ἐπιμελήσεσθον.

III. 1. And they[7] gladly obeyed. 2. They were greatly deceived. 3. He asked Cyrus for pay for three months.[8] 4. And no one of those who crossed[9] the river was wet higher[10] than his breast.[11]

IV. 1. He sent gifts with great liberality. 2. But he gave[12] the army pay for four months. 3. He marches thence five stages, thirty parasangs, to the sources of the river, of which the breadth was a plethrum.[13]

NOTES.

[1] Parts of 372 can be omitted, or read only, at the discretion of the teacher.

[2] 1102.

[3] 336, and 371.

[4] 1408, and 1327, 1328, 1329.

[5] 42, 43, 44.

[6] 1102.

[7] 983.

[8] 1085, 5.

[9] 1560.

[10] 370, 1.

[11] Plural of μαστός.

[12] See note 7, Lesson XIV.

[13] 1094, 5. A predicate genitive of *measure*.

LESSON XXXVII.

Verbs: Contracts in αω.

GRAMMAR: 492, the conjugation of τιμάω, with 496; 737; 340, the declension of τιμῶν; 35, 36, 37, 38; 39, 5.

Vocabulary.

βοάω, βοήσομαι,[1] ἐβόησα, (βοή, *a loud cry*)	*to shout out.*
ζάω, ζήσω, ἔζησα, ἔζηκα,	*to live.*
ἡττάομαι, ἡττήσομαι or ἡττηθήσομαι, ἥττημαι, ἡττήθην, (ἧττων, *worse*)	*to be inferior, to be worsted.*
θεάομαι, θεάσομαι, etc. *reg.*,	*to gaze at, to watch, to observe.*
κοιμάω, ἐκοίμησα, ἐκοιμήθην, (κεῖμαι, *to lie*)	*to put to sleep*; mid. and pass. *to lie down, to go to bed.*
κτάομαι,[2] κτήσομαι, etc. *reg.*,	*to acquire.*
νικάω, νικήσω, etc. *reg.*, (νίκη, *victory*)	*to conquer, to defeat, to be victorious.*
τολμάω, ήσω, etc. *reg.*, (τόλμα, *courage, hardihood*)	*to dare.*

Exercises.

I. 1. κατεθεᾶτο ἑκατέρωσε. 2. νικῶμέν τε[8] βασιλέα καὶ, ὡς ὁρᾶτε, οὐδεὶς ἔτι ἡμῖν μάχεται. 3. καὶ εὐθὺς πᾶσιν ἐβόα καὶ βαρβαρικῶς καὶ ἑλληνικῶς.

4. εἰ πειρῴμεθα εἰσβάλλειν εἰς τὴν Κιλικίαν, φεύγοι ἂν βασιλεύς. 5. καὶ ἀριστῶντι τῷ Ξενοφῶντι[4] προσέτρεχον δύο νεανίσκω. 6. οἱ Ἕλληνες κοιμῶνται οἰόμενοι τὰ πάντα νικᾶν[5] καὶ Κῦρον ζῆν.

II. 1. τοὺς πολεμίους ἐνικᾶτε σὺν τοῖς θεοῖς. 2. μετὰ δὲ ταῦτα ζῶντα Ὀρόνταν οὐδεὶς ὁρᾷ. 3. εἰ δ' αὐτὸν ὁρῴη δεινὸν ὄντα οἰκονόμον, ἡσθείη ἄν. 4. εἰ δέ τι ἄλλο βέλτιον,[6] τολμάτω καὶ ὁ ἰδιώτης διδάσκειν. 5. καὶ ἐμελέτων τοξεύειν οἱ Κρῆτες.

III. 1. He was calling out to lead the army. 2. He defeats the enemy. 3. But if we conquer, we shall be honored. 4. Try to make use of this.[7] 5. He gained from this a great name. 6. They are being worsted by barbarians.

IV. 1. Let us all strive to conquer the king's army. 2. The barbarians were observing the Greeks. 3. But if we should treat these with affection, they would be well-disposed to us. 4. I account him happy who is honored[8] by the king.

NOTES.

[1] See note 3, Lesson XXVIII.
[2] Perfect generally **κέκτημαι**, rarely in Attic **ἔκτημαι**, 525.
[3] **τὲ ... καί**, *both ... and, not only ... but also.*
[4] 1175.
[5] 1522. Their thought was, **τὰ πάντα νικῶμεν καὶ Κῦρος ζῇ.**
[6] Sc. **ἔστι.**
[7] 1183.
[8] 1560.

LESSON XXXVIII.

Verbs: Contracts in εω and οω.

GRAMMAR: 492, the conjugation of φιλέω and δηλόω; 495, 497, 498; 737; 340, 341, the declension of φιλῶν and δηλῶν; 35, 36, 37, 38; 39, 4 and 5.

Vocabulary.

ἀνα-κοινόω, κοινώσω, etc. *reg.*, (ἀνά[1] and κοινόω, *to make common*, κοινός)	*to make common, to communicate, to consult.*
ἀξιόω, ἀξιώσω, etc. *reg.*, (ἄξιος)	*to deem worthy* or *fit, to ask, to demand* as fit.
ἐπιθυμέω, ἐπιθυμήσω, ἐπεθύμησα, ἐπιτεθύμηκα, (ἐπί and θυμός)	*to set one's heart on, to desire.*
ἐπι-κυρόω, κυρώσω, etc. *reg.*, (κῦρος, *authority*)	*to give authority to, to confirm, to ratify.*
ἡγέομαι, ἡγήσομαι, etc. *reg.*, (ἄγω, *to lead*)	*to lead, to think.*
θανατόω, θανατώσω, etc. *reg.*, (θάνατος, *death*; θνήσκω, *to die*)	*to condemn to death.*
πολεμέω, πολεμήσω, etc. *reg.*, (πόλεμος)	*to wage war.*
ὠφελέω, ὠφελήσω, etc. *reg.*, (ὄφελος, *advantage*; cf. ὀφέλλω, *to increase*)	*to aid.*

Exercises.

I. 1. συλλέξας στράτευμα ἐπολιόρκει Μίλητον. 2. αἱρεῖται πολεμεῖν. 3. ἐβόων δὲ ἀλλήλοις μὴ

θεῖν. 4. ἐσπουδαιολογεῖτο, ὡς δῆλοίη οὗς τιμᾷ. 5. ἡγείσθω. 6. οἱ δὲ κακοὶ[2] δοῦλοι τῶν ἀγαθῶν ἀξιοῦνται εἶναι. 7. ἐνταῦθα ᾠκεῖτο πόλις μεγάλη. 8. ἐλαύνει ἀνὰ κράτος ἱδροῦντι τῷ ἵππῳ.[3] 9. ὅστις[4] ζῆν ἐπιθυμεῖ, πειράσθω νικᾶν.

II. 1. Ξενοφῶν ἀνακοινοῦται Σωκράτει[5] περὶ τῆς πορείας. 2. κατελείφθησαν οἱ ὁμοτράπεζοι καλούμενοι.[6] 3. ἡδέως ἐπόνουν καὶ θαρραλέως ἐκτῶντο. 4. συντομωτάτην ᾤετο ὁδὸν εἶναι διὰ τοῦ ἐπιορκεῖν[7] τε καὶ ἐξαπατᾶν. 5. ἐπεθύμει τιμᾶσθαι, ἵνα πλείω κερδαίνοι. 6. Κῦρος δ' ὁρῶν τοὺς Ἕλληνας νικῶντας, προσκυνούμενος[8] ὡς βασιλεύς, οὐκ ἐξήχθη διώκειν, ἀλλὰ ἐπεμελεῖτο τί (*what*) ποιήσει βασιλεύς.

III. 1. Never hire the idle. 2. They are always willing to ratify treaties. 3. It is necessary[9] to do this. 4. They kept casting stones into the river. 5. The river is called Marsyas. 6. If they are condemning him to death, they are doing wrong.

IV. 1. For they were occupying strongholds. 2. He desired exceedingly to be rich. 3. He prefers by warring[10] to make his means less. 4. He kept warring with the Thracians[11] and aiding the Greeks.

NOTES.

[1] The preposition merely strengthens the meaning of the simple verb.
[2] *But the bad are thought fit*, etc., 932, 1. For **δοῦλοι**, see 959, 1.
[3] 1181. [4] 425. [5] 1175.
[6] **οἱ καλούμενοι**, *those who were called* (1560), *his so-called*, etc.
[7] 1546. [9] **δεῖ**, 495, 2.
[8] 1563, 6. [10] 1563, 3. [11] 1175, 1177.

LESSON XXXIX.

Pronouns: Personal, Intensive, Reflexive, Reciprocal, and Possessive.

GRAMMAR: 389, 391, 399, 400; 141, 1 (first paragraph); 985, 986, 987; 989; 401, 402; 993; 404; 406; 998.

Examples.

989, 2: ὁ αὐτὸς ἀνήρ, *the* SAME *man*; τὸν αὐτὸν πόλεμον, *the* SAME *war*.

989, 1: αὐτὸς ὁ στρατηγός, *the general* HIMSELF; ταῦτα ἐποιεῖτε αὐτοί (sc. ὑμεῖς), *you did this* YOURSELVES.

989, 3: αὐτὸν σατράπην ἐποίησεν, *he made* HIM *satrap*; ἄρχει αὐτῶν, *he commands* THEM.

987: λέγεται Ἀπόλλων νικῆσαι[1] Μαρσύαν ἐρίζοντά οἱ, *Apollo is said to have defeated Marsyas when contending with* HIM.

993: ἔσφαξεν ἑαυτόν, *he slew* HIMSELF; νομίζει τοὺς πολίτας ὑπηρετεῖν ἑαυτῷ,[2] *he thinks that the citizens are servants* TO HIMSELF.

998: ὁ ἡμέτερος πατήρ = ὁ πατὴρ ἡμῶν,[3] OUR *father*.

Vocabulary.

ἀδικέω, ἀδικήσω, etc. *reg.*, (ἄδικος, from ἀ- priv. and δίκη) — *to do wrong, to wrong.*

ἀπαρασκεύαστος, -ος -ον, (ἀ- priv. and παρασκευάζω, *to prepare*; cf. σκευάζω, σκεῦος) — *unprepared.*

ἀρετή, -ῆς, ἡ,	*goodness, virtue, valor.*
δαπανάω, δαπανήσω, etc. *reg.*, (δαπάνη, *expense*)	*to expend.*
εὐώνυμος, -ος, -ον, (εὖ and ὄνομα)[4]	*left.*
πληγή, -ῆς, ἡ, (πλήττω, *to strike*)	*a blow.*
στόλος, -ου, ὁ, (στέλλω, *to send*)	*an expedition.*
χείρ, χειρός, ἡ, (gen. and dat. dual χεροῖν, dat. pl. χερσί)	*the hand.*

Exercises.

I. 1. εἶχε δὲ τὸ εὐώνυμον Μένων καὶ οἱ σὺν αὐτῷ. 2. ἀλλ' εἰς ὑμᾶς τοὺς δαρεικοὺς ἐδαπάνων. 3. σὺ ἐμοὶ[5] ἐπιβουλεύεις καὶ τῇ σὺν ἐμοὶ στρατιᾷ. 4. ὁ αὐτὸς στόλος ἐστὶ καὶ ἡμῖν. 5. τῇ δὲ αὐτῇ ἡμέρᾳ ἀφιππεύει ἐπὶ τὴν ἑαυτοῦ σκηνήν. 6. πληγὰς ἐνέτεινον ἀλλήλοις.[5] 7. ταχθεὶς ὑπὸ αὐτοῦ τοῦ ἐμοῦ[6] ἀδελφοῦ ἐπολέμησεν ἐμοί. 8. ὑμᾶς δὲ ἀπαρασκευάστους λαμβάνει.

II. 1. νομίζω γὰρ ὑμᾶς ἐμοὶ εἶναι φίλους. 2. αὐτὸς ἐπεβούλευε διαβάλλειν με πρὸς ὑμᾶς. 3. ὥρα ἡμῖν βουλεύεσθαι ὑπὲρ ἡμῶν αὐτῶν. 4. σύ τε γὰρ Ἕλλην εἶ καὶ ἡμεῖς. 5. ὁ δὲ λέγει αὐτῷ. 6. ὁρᾷ δὲ τοὺς Ἕλληνας νικῶντας τὸ καθ' αὑτούς.[7] 7. ὑμεῖς ἐπὶ τὴν ἡμετέραν χώραν ἔρχεσθε.

III. 1. But send us back. 2. He remains in the same (place). 3. They lead him to the general. 4. He has been wronged by us. 5. I myself will proceed to my own province. 6. They kept warring

with one another. 7. Your valor is worthy of admiration.

IV. 1. He brings together his own soldiers. 2. I summoned you. 3. The crags reach down to the river itself. 4. Let us not neglect ourselves.[6] 5. We must benefit our friends. 6. He himself slays him with his own hand.[9]

NOTES.

[1] With the passive of many of the verbs that take the infinitive in indirect discourse (Lesson XXXI.) we either find the infinitive itself with its subject accusative as subject of the principal verb (the normal construction), or, as here, the subject accusative of the infinitive becomes the subject nominative of the principal verb. In this example, to illustrate, we might have also **λέγεται Ἀπόλλωνα νικῆσαι,** *it is said that Apollo defeated*, where the noun is the subject of the infinitive and the infinitive is the subject of **λέγεται,** representing the possible *active* construction, **λέγουσιν Ἀπόλλωνα νικῆσαι,** etc. **λέγω,** however, in the active voice rarely takes the infinitive in indirect discourse, 1523, 1.

[2] **οἱ** also would be correct, 987. [3] 977, 1.

[4] On the derivation of this word, see further the general vocabulary.

[5] 1179.

[6] Not the genitive of the first personal pronoun, but the possessive. See note 3, above.

[7] Sc. **μέρος** or **κέρας.** [8] 1102. [9] 1181.

LESSON XL.

Verbs: The Future and First Aorist Stems in Pure and Mute Verbs.

GRAMMAR: 456,[1] II. and III., 459, 460, 461; 662, 669; 717, first three verbs; 473,[2] 474,[3] II. and III., 476, II., 477, 1 and 2; 480,[4] 1 and 2, the Future and First Aorist Active and Middle of **λύω**[5] in all the moods; 567, 568; 576; 579, 580, 584, 585, 588.

Vocabulary.

ἅπτω (ἁφ-), ἅψω, ἧψα, ἧμμαι, ἥφθην,	*to fasten*; mid. *to fasten one's self to, to touch.*
ἀριστάω, ἀριστήσω, etc. *reg.*, (ἄριστον, *breakfast*; cf. ἦρι, *early*)	*to breakfast.*
γυμνάζω (γυμναδ-), γυμνάσω, etc. *reg.*, (γυμνός, *naked, lightly clad*)	*to exercise.*
θωρακίζω (θωρακιδ-), θωρακίσω, etc. *reg.*, (θώραξ, *breastplate*)	*to arm with a breastplate, to arm.*
κηρύττω (κηρυκ-), κηρύξω, etc. *reg.*, (κῆρυξ)	*to proclaim.*
λοιδορέω, λοιδορήσω, etc. *reg.*, (λοίδορος, *abusive*)	*to abuse, to revile.*
σφάττω and σφάζω (σφαγ-), σφάξω, ἔσφαξα, ἔσφαγμαι,	*to slay, to slaughter.*
φράζω (φραδ-), φράσω, etc. *reg.*,	*to tell.*

Exercises.

I. 1. διατρίψομεν τὴν τήμερον[6] ἡμέραν. 2. τὴν τάξω τοῦ στρατεύματος ἐθαύμασεν. 3. ἐπειδὰν ταῦτα πράξῃ,[7] βουλευσόμεθα. 4. πέμψατε αὐτοὺς δεῦρο. 5. Κῦρον δὲ μετεπέμψατο ἀπὸ τῆς ἀρχῆς. 6. ὑπισχνεῖτο δὲ φράσειν[8] τοῖς ἑαυτοῦ ἱππεῦσιν. 7. Χειρίσοφος πέμψει κωμήτας, σκεψομένους[9] πῶς ἔχουσι οἱ στρατιῶται. 8. οὐχ ἅψεται τῆς κάρφης[10] τὸ ὕδωρ.

II. 1. ἐγὼ σὺν ὑμῖν ἕψομαι καὶ ὅ τι ἂν δέῃ[11] πείσομαι. 2. ἐφοβοῦντο μὴ οἱ πολέμιοι ὁπλίσαιντο. 3. κηρύξει τοῖς Ἕλλησι συσκευάζεσθαι. 4. Σὺ οὖν,

πρὸς θεῶν, συμβούλευσον ἡμῖν. 5. *γυμνάσαι βούλεται ἑαυτόν τε καὶ τοὺς ἵππους.* 6. *ἐπὰν τάχιστα*[12] *ἀριστήσωμεν, ἐξοπλισάμενοι πορευσόμεθα ἐπὶ τοὺς ἄνδρας.*

III. 1. I will do this. 2. The rest of the soldiers struck and abused him. 3. Do not collect[13] the soldiers together before the tent. 4. Put on your breastplates at once. 5. The men promise to obey[14] their commanders. 6. He sent the men forward to rescue the woman.

IV. 1. The rest of the soldiers will follow Cyrus.[15] 2. Let us send for the hoplites as quickly as possible.[16] 3. He said[17] that he had got together[18] much property. 4. We will proceed at once, after slaughtering[19] a bull and wolf. 5. If they should close the gates, we should besiege their city.

NOTES.

[1] See note 1, Lesson XXXV.

[2] Pages 95–98 inclusive. Give the synopsis of each verb and tense separately by moods across the page, first in the active and then in the middle.

[3] Pages 96, 98.

[4] See note 3, Lesson XXXV.

[5] Let the pupil conjugate in the same manner the future active and middle of **λείπω**, and the future and first aorist active and middle of **πράσσω**.

[6] 952.

[7] **ἐπειδάν**, i.e. **ἐπειδὴ ἄν**, *whenever*, is exactly equal logically to **ἐάν ποτε**, *if ever*, and takes the subjunctive by the same law. See 1403 and 1434, with the examples.

[8] 1522.

[9] 1563, 4.

[10] 1099.

[11] Sc. **πάσχειν** from the following verb. See further note 7, above, and 495, 2. **πείσομαι** is the future of **πάσχω** on the stem **πενθ** (for **πενθ-σομαι**).

[12] *Cum primum, just as soon as.* See further note 7, above.
[13] 1346. But for the verb in the next sentence, which is *not* a prohibition, 1342.
[14] For the tense, see I. 6, above.
[15] 1175.
[16] See note 4, Lesson XXXIV.
[17] Use φημί.
[18] Use the aorist, and see 1523, 1.
[19] 1563, 1.

LESSON XLI.

Verbs: The Future and First Aorist Stems in Liquid Verbs.

GRAMMAR: 456, II. and III., 459, 460, 461; 663, 672; 717, last two verbs; 473, 478, II. and III.[1]; 482,[2] the Future and First Aorist Active and Middle of φαίνω[3] in all the moods; 579, 592, 593, 594, 596, 601.

Vocabulary.

ἀγγέλλω (ἀγγελ-), ἀγγελῶ, ἤγγειλα, ἤγγελκα, ἤγγελμαι, ἠγγέλθην, (ἄγγελος, *a messenger*, from ἄγω, *to bring*) — *to announce.*

αἰσχύνω (αἰσχυν-), αἰσχυνῶ, ᾔσχυνα, ᾐσχύνθην, (αἶσχος, *shame, disgrace*) — *to shame;* com. as dep. pass. *to be ashamed.*

ἀμύνω (ἀμυν-), ἀμυνῶ, ἤμυνα, — *to ward off;* mid. *to defend one's self, to punish.*

ἐκ-κλίνω (κλιν-), κλινῶ, ἔκλινᾰ, κέκλιμαι, ἐκλίθην,[4] (κλίνω, *to bend, to incline*) — *to bend out* of line, *to give way.*

καίω (καυ-) or κάω, καύσω, etc. *reg.*, *to burn.*
μένω, μενῶ, ἔμεινα, μεμένηκα,[5] *to remain.*
σημαίνω (σημαν-), σημανῶ, ἐσήμηνα, σεσήμασμαι,[6] ἐσημάνθην, (σῆμα, *sign*) *to give signal.*
τείνω (τεν-), τενῶ, ἔτεινα, τέτακα, τέταμαι, ἐτάθην,[4] *to stretch.*

Exercises.

I. 1. Κῦρος οὔτε ἄλλον πέμπει σημανοῦντα[7] ὅ τι χρὴ ποιεῖν οὔτε αὐτὸς φαίνεται. 2. αἰσχυνούμεθα καὶ θεοὺς καὶ ἀνθρώπους[8] ταῦτα ποιεῖν. 3. καὶ ἐνταῦθα ἔμειναν οἱ στρατιῶται ἡμέρας πέντε. 4. ὅτῳ δοκεῖ ταῦτα, ἀνατεινάτω τὴν χεῖρα. 5. καὶ τοὺς ὁπλίτας αὐτοῦ[9] ἐκέλευσε μεῖναι. 6. καὶ εἴ τι παραγγεῖλαι χρήζοιεν, ἐν ἡμίσει ἂν χρόνῳ αἰσθάνοιτο τὸ στράτευμα. 7. ἐξήγγειλε τοῖς φίλοις τὴν κρίσιν[10] ὡς (*how*) ἐγένετο. 8. ὅ τι δὲ ποιήσει, οὐ διασημανεῖ.

II. 1. σὺ δὲ πρῶτος ἀπόφηναι[11] γνώμην. 2. ἐκκλινεῖν φασι τοὺς βαρβάρους καὶ φεύξεσθαι. 3. ἐνταῦθα λέγεται[12] Ἀπόλλων ἐκδεῖραι Μαρσύαν. 4. ἀδικοῦντα μέντοι βασιλέα πειρασόμεθα σὺν τοῖς θεοῖς ἀμύνασθαι. 5. ἐπειδὰν δὲ ὁ σαλπιγκτὴς σημήνῃ τῷ κέρατι, συσκευάζεσθε. 6. ὅπως δ' ἀμυνούμεθα[13] ἐπιμελούμεθα.

III. 1. I will announce this. 2. Cyrus remained there thirty days. 3. I will quickly answer you. 4. They did not await the hoplites. 5. He says[14] he will quickly give them[15] answer.

IV. 1. Shall I announce a truce or war? 2. What will the rest answer to Cyrus? 3. To[16] this the Greeks made reply. 4. He says that the barbarians at once gave way. 5. He sent men to burn[7] the fodder.

NOTES.

[1] Page 99. Give the synopsis of each tense separately by moods across the page, first in the active and then in the middle.

[2] Pages 106 and 107. See further note 3, Lesson XXXV.

[3] Conjugate in the same manner the future and first aorist active and middle of στέλλω through all the moods.

[4] 647.

[5] 653, 658, 2.

[6] 648.

[7] See Lesson XL., I. 7.

[8] 1049. The following infinitive is a secondary object of the same verb, 1518.

[9] An adverb.

[10] A noun which properly belongs to the dependent sentence is often transferred (usually with change of case) to the principal sentence. The object is to give it a more emphatic position. We might have had, ὡς ἡ κρίσις ἐγένετο.

[11] 1242. 3.

[12] See note 1, Lesson XXXIX.

[13] 1372.

[14] See II. 2, above.

[15] Dative.

[16] πρός with the accusative.

LESSON XLII.

Pronouns: Demonstrative, Interrogative, Indefinite, and Relative.

GRAMMAR: 409, 411; 146; 1004; 974[1]; 415, 416, 418, 1, 419; 1011, 1012; 1015; 421, 425, 426; 1019.

Examples.

1011: τίνας ὁρῶ; WHOM *do I see?* τίνας ἄνδρας ὁρῶ; WHAT *men do I see?*

1012: τί βούλεται; WHAT *does he want?* ἐρωτᾷ τί (or ὅ τι[2]) βούλεσθε, *he asks* WHAT *you want.*

1015: τοῦτο λέγει τις, SOME ONE *says this;* ἄνθρωπός τις, SOME *man;* ὁρῶ ἄνθρωπόν τινα, *I see* A CERTAIN *man,* or *I see* A *man.*

1019: παράδεισος θηρίων πλήρης, ἃ Κῦρος ἐθήρευεν, *a park full of wild beasts,* WHICH *Cyrus used to hunt.*

Vocabulary.

ἀργός, -ός, -όν, (ἀ- priv. and ἔργον)	*without work, idle.*
γνώμη, -ης, ἡ, (γιγνώσκω,[3] *to* KNOW)	*judgment, purpose, opinion.*
δοκέω (δοκ-[4]), δόξω, ἔδοξα, δέδογμαι, ἐδόχθην,	*to seem, to think.*
ἐπ-αινέω, αἰνέσω, ἤνεσα, ἤνεκα, ἤνημαι, ἠνέθην,[5] (ἐπί, intens., and αἰνέω, *to praise;* cf. αἶνος, *praise*)	*to approve, to praise.*
παῖς, παιδός,[6] ὁ or ἡ,	*a child, a son, a daughter.*
παλτόν, -οῦ, τό, (πάλλω, *to brandish*)	*a javelin.*
τεκμήριον, -ου, τό, (τέκμαρ, *a sure sign*)	*a sure sign, a positive proof.*
τρόπος, -ου, ὁ, (τρέπω, *to turn*)	*a turn, a manner,* (of persons) *disposition, character.*

Exercises.

I. 1. καὶ οὗτοι[7] μὲν ἔμενον, οἱ δ' ἄλλοι[8] ἐπορεύοντο. 2. εἰ Δαρείου ἐστὶ παῖς, ἐμὸς δὲ ἀδελφός,

οὐκ ἀμαχεὶ ταῦτ' ἐγὼ λήψομαι.[9] 3. εἰ δέ τις ἄλλο ὁρᾷ βέλτιον, λεξάτω. 4. εὐθὺς δὲ ἐκεῖνος ἀπελαύνει τοὺς στρατιώτας. 5. τί πραχθήσεται; 6. ἐρωτᾷ οὗτος ὅ τι ποιοῦμεν. 7. ἀργοὶ ἔζων οὗτοι οἱ ἄνθρωποι. 8. οἱ δὲ στρατιῶται, οἵ τε αὐτοῦ ἐκείνου καὶ οἱ ἄλλοι, ταῦτα ἀκούσαντες, ἐπῄνεσαν.

II. 1. τοῦτο αὐτοὶ ἐποιεῖσθε. 2. οὗτος δὲ ὁ αὐτὸς κελεύει ἡμᾶς πορεύεσθαι. 3. τίς οὕτω μαίνεται ὅστις οὐ βούλεταί σοι φίλος εἶναι; 4. σὺ οὖν συμβούλευσον ἡμῖν, ὅ τι σοι δοκεῖ ἄριστον εἶναι. 5. τὰ αὐτὰ ταῦτα βουλεύονται. 6. Κῦρον δὲ ἀκοντίζει τις παλτῷ ὑπὸ τὸν ὀφθαλμὸν βιαίως. 7. λέγουσι δέ τινες τάδε.

III. 1. And he commands them to say this. 2. What will the rest of[8] the soldiers do? 3. And these did so.[10] 4. He speaks as follows.[7] 5. I pursued with the aid of[11] these. 6. But there was a certain Athenian in the army.

IV. 1. He collected his own army and spoke as follows. 2. What opinion have you? 3. But another army was collected for him in the following manner.[12] 4. But the following (fact) is a proof of this.

NOTES.

[1] See the example in Lesson XIX.

[2] 1013.

[3] The stem is **γνο-**. On the formation of the present from this simple stem, see **μιμνήσκω**, note 3, Lesson XXIX.

[4] 653, 654.

[5] Except in the perfect passive, the short vowel of the stem is retained, 639 (*b*).

[6] 128.

[7] 1005.

[8] 966.

[9] Future of **λαμβάνω**.

[10] **οὕτως**.

[11] *With the aid of*, **σύν**.

[12] 1060, where the first example, **τοῦτον τὸν τρόπον**, means *in the* PRECEDING *manner*.

LESSON XLIII.

Verbs: Perfect Middle Stem.

GRAMMAR: 456, VII.; 698, 699, 700, 701, 640, 645; 717, the Perfect Middle stem; 474,[1] VII., 476,[2] VII., 478,[3] VII.; 480, 2 and 3, the Perfect and Pluperfect Middle[4] and Passive[5] of **λύω** in all the moods; 486, 487; 70, 71, 74, 75.

Vocabulary.

διᾰ-σπείρω (σπερ-), σπερῶ, ἔσπειρα, ἔσπαρμαι, (σπείρω, *to sow*)	*to scatter abroad;* mid. *to scatter*, intrans.
ἐλέγχω, ἐλέγξω, ἤλεγξα, ἐλήλεγμαι, ἠλέγχθην,	*to confute, to convict.*
εὔνοια, -ας, ἡ, (εὖ-νοος)	*good-will.*
κρίνω (κριν-), κρινῶ, ἔκρινα, κέκρικα,[6] κέκριμαι, ἐκρίθην,	*to separate, to judge.*
οὖς,[7] ὠτός, τό,	EAR.
πιστότης, -ητος, ἡ, (πιστός)	*fidelity.*
σκέλος, -εος, τό,	*a leg.*
χάλκωμα, -ατος, τό, (χαλκός, *bronze*)	*a bronze utensil.*

Exercises.

I. 1. *πάντα ἡμῖν*[8] *πεποίηται.* 2. *ἔσεσθε ἄνδρες ἄξιοι τῆς ἐλευθερίας ἧς*[9] *κέκτησθε.* 3. *πόσοι τῶν στρατιωτῶν ὑπολελειμμένοι εἰσίν;* 4. *τούτους δ' ἔφη ἐγγὺς ἀλλήλων ἐστρατοπεδεῦσθαι.* 5. *σφενδόνη καλὴ τῷ στρατηγῷ*[8] *πέπλεκται.* 6. *καὶ ὅστις ὑμῶν οἴκαδε ἐπιθυμεῖ πορεύεσθαι, μεμνήσθω*[10] *ἀνὴρ ἀγαθὸς εἶναι.* 7. *ἤλαυνεν ἐπὶ τοὺς Μένωνος, ὥστ' ἐκείνους ἐκπεπλῆχθαι*[11] *καὶ τρέχειν ἐπὶ τὰ ὅπλα.*

II. 1. *ἐτετίμησο γὰρ ὑπὸ βασιλέως δι' εὔνοιάν τε καὶ πιστότητα.* 2. *ἅμα δ' ἔδειξε*[12] *συντετριμμένους ἀνθρώπους καὶ σκέλη*[13] *καὶ πλευράς.* 3. *οὗτος δὲ τεταγμένος ἐτύγχανεν*[14] *ἐπὶ τῷ εὐωνύμῳ τοῦ ἱππικοῦ ἄρχων.* 4. *καὶ νῦν ἡμᾶς ὑπάγεται μένειν διὰ τὸ διεσπάρθαι*[15] *αὐτῷ τὸ στράτευμα.* 5. *οὐδένα κρίνω ὑπὸ πλειόνων πεφιλῆσθαι.* 6. *ἦσαν δὲ καὶ χαλκώμασι παμπόλλοις κατεσκευασμέναι αἱ οἰκίαι.*

III. 1. You possess much money. 2. We have obeyed our commanders in all respects.[16] 3. He says that they have encamped in the villages. 4. Do you not[17] remember? 5. You have been enrolled as a slinger.[18] 6. But they had been left behind alone. 7. He had been convicted of theft.[19]

IV. 1. He has had his ears[20] bored. 2. He had been sent against the barbarians. 3. He said the soldiers had plaited themselves slings. 4. For they

had been armed. 5. You have been drawn up in line of battle.[21] 6. No friend has been left to us.

NOTES.

[1] Page 97.
[2] Page 98.
[3] Page 99.
[4] Pages 103, 104.
[5] See remark, 474, I., VII., at the bottom of the column.
[6] 647.
[7] 291, 27.
[8] 1238.
[9] 1031.
[10] 1263.
[11] The perfect infinitive, when not in indirect discourse, differs from the present only in being more emphatic, as here, *thoroughly frightened.* For the infinitive after **ὥστε**, see 1449.
[12] Aorist of **δείκνυμι**, a verb in **μι**, 467, 468.
[13] See 1239, last example.
[14] *Had been stationed, as it happened*, 1586.
[15] 1546.
[16] *In respect to all* (*things*), 1058.
[17] 1603.
[18] Say simply *to sling*, 1532.
[19] 1121.
[20] See II. 2.
[21] See Lesson XVI., II. 5.

LESSON XLIV.

Verbs: Perfect Active and Future Perfect Stems.

GRAMMAR: 456, V. and VII.; 682, 683, 684; 703, 704, 705, 706; 717, the First Perfect and Future Perfect stems; 474,[1] V. and VII.; 476,[2] VII.; 478,[3] V.; 480, 1 and 3, the Perfect and Pluperfect Active[4] and Future Perfect[5] of **λύω**[6] in all the moods; 613; 653, 654.

Vocabulary.

ἀποδιδράσκω (**δρα-**), **ἀποδρά-σομαι, ἀποδέδρακα,**	*to run away, to escape unobserved.*
γῆρας, -αος, τό, (cf. **γέρων,** *an old man*)	*old age, advanced age.*

ἐπιορκέω, ἐπιορκήσω, ἐπιώρκησα,[7] ἐπιώρκηκα, (ἐπί-ορκος, *against one's oath*)	*to swear falsely, to forswear one's self.*
θάνατος, -ου, ὁ, (θνήσκω, *to die*)	*death.*
κατα-πηδάω, πηδήσομαι, ἐπήδησα, πεπήδηκα, (πηδάω, *to leap*)	*to leap down.*
κοινός, -ή, -όν,	*common.*
ὁρμάω, ὁρμήσω, etc. *reg.*, (ὁρμή, *movement, impulse*)	*to set in motion;* mid. *to set out.*
φάσκω (φα), (cf. φημί)	*to say, to allege.*

Exercises.

I. 1. ὁ ἀνὴρ τοιαῦτα μὲν πεποίηκε, τοιαῦτα δὲ λέγει. 2. Ἀθήνησιν ἐδεδουλεύκει ὁ πελταστής. 3. ἐπειδὴ πεπτωκότα ὁρᾷ Κῦρον, κατεπήδησεν ἀπὸ τοῦ ἵππου. 4. ὥστε φίλος ἡμῖν οὐδεὶς λελείψεται, ἀλλὰ καὶ οἱ πρόσθεν ὄντες[8] πολέμιοι ἡμῖν ἔσονται. 5. τὰ δὲ ἄλλα εἰς τὸ πῦρ ἐρρίφαμεν. 6. οἱ δὲ πολέμιοι ἐπιωρκήκασί τε καὶ τὰς σπονδὰς καὶ τοὺς ὅρκους λελύκασιν. 7. ὁ δ' ἔφη πολλὰς προφάσεις Κῦρον εὑρηκέναι.

II. 1. μετὰ ταῦτα οὔτε ζῶντα Ὀρόνταν οὔτε τεθνηκότα οὐδεὶς[9] ὁρᾷ. 2. ὁπόσοι δὲ τὸν θάνατον ἐγνώκασι πᾶσι κοινὸν εἶναι, οὗτοι εἰς τὸ γῆρας ἀφικνοῦνται. 3. ἔφη δ' αὐτὸ τὸ ἔργον αὐτοῖς μεμαρτυρηκέναι. 4. Κῦρος δὲ ἔχων οὓς εἴρηκα[10] ὥρμᾶτο ἀπὸ Σάρδεων. 5. Κῦρος δὲ συγκαλέσας τοὺς στρατηγοὺς ἔλεξεν ὅτι οὐκ ἀποδεδράκασι

Ξενίας καὶ Πασίων. 6. *νομίζετε ἐν τῇδε τῇ ἡμέρᾳ ἐμέ τε κατακεκόψεσθαι*[11] *καὶ ὑμᾶς οὐ πολὺ ἐμοῦ ὕστερον.*

III. 1. He alleged that he had been a slave[12] at Athens. 2. He had already called an assembly of the soldiers. 3. The army will be instantly[11] cut to pieces. 4. If the king has fallen, let us fly. 5. Cyrus has honored him on account of his courage. 6. You have robbed these soldiers of their pay.[13]

IV. 1. I do not praise him, if he has done this. 2. The letter will have been written. 3. Have[14] you commanded him to proclaim silence? 4. He says she has persuaded her husband to fight. 5. If the barbarians have broken the truce, the gods will fight on our side.[15]

NOTES.

[1] Page 97.

[2] Page 98, bottom of the column.

[3] Page 99.

[4] Page 101.

[5] Page 104.

[6] Conjugate in the same manner the perfect and pluperfect active of **πράσσω**, **φαίνω**, and **στέλλω**, and the future perfect of **λείπω** and **πράσσω**, through all the moods.

[7] 543.

[8] Sc. **φίλοι.**

[9] 1619.

[10] Serves as a perfect to **εἶπον**, and is formed on a stem **φα-**. For the augment, see 522.

[11] *Instantly cut down*, 1266.

[12] **φάσκω**, like **φημί**, takes the infinitive, 1522, 1523.

[13] 1069.

[14] 1603.

[15] *In behalf of us.*

LESSON XLV.

Verbs: Second Perfect and Second Aorist Stems.

GRAMMAR: **449**; 456, IV. and VI.; 31; 459; 675; 687, 692, 696; 642, **643**, **644**; 717, the Second Aorist and Second Perfect stems; 476,[1] IV. and **VI.**; **478**,[2] **VI.**; 481,[3] the Second Perfect and Pluperfect Active, and the Second Aorist Active and Middle of λείπω[4] in all the moods; 603, 605, 607, 608.

Vocabulary.[5]

γίγνομαι (γεν-[6]), γενήσομαι, γεγένημαι; 2 p. γέγονα, *I am;* 2 a. ἐγενόμην,	*to become.*
λείπω (λιπ-), λείψω, λέλειμμαι, ἐλείφθην; 2 p. λέλοιπα; 2 a. ἔλιπον,	*to leave.*
μανθάνω (μαθ-[7]), μαθήσομαι, μεμάθηκα; 2 a. ἔμαθον,	*to learn.*
πάσχω (παθ-, πενθ-[8]), πείσομαι; 2 p. πέπονθα; 2 a. ἔπαθον,	*to suffer.*
πίπτω (πετ-, πτο-[9]), πεσοῦμαι, πέπτωκα; 2 a. ἔπεσον,	*to fall.*
πυνθάνομαι (πυθ-[7]), πεύσομαι, πέπυσμαι;[10] 2 a. ἐπυθόμην,	*to ascertain.*
τυγχάνω (τυχ-[7]), τεύξομαι, τετύχηκα; 2 a. ἔτυχον,	*to obtain, to hit, to happen.*
φεύγω (φυγ-[11]), φεύξομαι or φευξοῦμαι; 2 p. πέφευγα; 2 a. ἔφυγον,	*to flee, to flee from.*

Exercises.

I. 1. *οὐδὲν*[12] *μέντοι οὐδὲ*[13] *οὗτος ἐπεπόνθει.* 2. *ἔνθα δὴ πολὺς τάραχος ἐγένετο.* 3. *ἔδοξεν αὐτῷ σκηπτὸς πεσεῖν*[14] *εἰς τὴν πατρῴαν οἰκίαν.* 4. *ὀκτὼ μόνους κατέλιπον.* 5. *ἀλλὰ πολλὰς προφάσεις Κῦρος εὗρισκεν, ἵνα ὑμᾶς τε ἀπαρασκευάστους λάβοι καὶ ἡμᾶς ἐνθάδε ἀναγάγοι.* 6. *ἡ δὲ Κίλισσα ἔφυγεν ἐκ τῆς ἁρμαμάξης καὶ οἱ ἐκ τῆς ἀγορᾶς*[15] *καταλιπόντες τὰ ὤνια ἔφυγον.* 7. *ἀλλὰ δέδοικα μὴ, ἂν ἅπαξ μάθωμεν ἀργοὶ ζῆν, ἐπιλαθώμεθα τῆς οἴκαδε ὁδοῦ.*

II. 1. *καὶ οὐκ ἦν τοὺς ὄνους λαβεῖν.* 2. *λελοιπώς ἐστι*[16] *Συέννεσις τὰ ἄκρα.* 3. *οὐδ' εἰ πιστὸς γενοίμην, σοί γ' ἂν δόξαιμι.* 4. *τοὺς στρατηγοὺς ἐκέλευεν ὁπλίτας ἀγαγεῖν· οἱ δὲ ταῦτα ἐποίησαν, ἀγαγόντες ὡς*[17] *τρισχιλίους ὁπλίτας.* 5. *ἡ δὲ γυνὴ προτέρα*[18] *Κύρου πέντε ἡμέρας ἀφίκετο.*

III. 1. And first learn[19] who they are. 2. They have not escaped. 3. And he ascertained the matter. 4. He said they had left the place in flight.[20] 5. But he himself took[21] the horsemen and proceeded. 6. A shout arose.[22]

IV. 1. But when[23] he had learned[19] this, he commanded them to set the houses on fire. 2. And you again took pledges from[24] me. 3. For a line

of the hoplites chanced[19] to be following.[25] 4. He questioned Cyrus thus.[26] 5. These arrived at[27] Sardis.

NOTES.

[1] Page 98. For peculiarities in accent see 131, 4.

[2] Page 99.

[3] Page 105.

[4] Conjugate in the same manner the second perfect and pluperfect active of **πράσσω** and **φαίνω** through all the moods. Take each tense of **λείπω** and **φαίνω** which you have conjugated, and analyze it, pointing out the *present stem*, the *simple stem*, *augment*, *tense stem*, *thematic vowels*, and *personal endings*.

[5] The class of some of these verbs remains to be more fully considered hereafter: for **γίγνομαι** and **πίπτω**, see 652, for **πάσχω**, 621, for **λείπω** and **φεύγω**, 572.

[6] The present stem is a syncopated and reduplicated form of the simple stem, 650, 651, 652, and the future and perfect middle add **ε** to the simple stem, 653, 657, 658, 2.

[7] Mute stems which assume **ν** or **αν** in the present have their proper form only in the second aorist; except in the present and second aorist they either lengthen the short vowel (like verbs of the second class, 572) or add **ε** (658).

[8] **πάσχω** for **παθ-σκω**, 74; **πείσομαι** for **πενθ-σομαι**, 79.

[9] See 652 (*a*); **πεσοῦμαι** for **πετ-σεομαι**, 666. **ἔ-πεσ-ον** is for **ἔ-πετ-ον**, which is in fact the form of the second aorist in Doric Greek.

[10] The perfect is an exception to the principle stated in note 7.

[11] For **φευξοῦμαι**, a Doric future, see 666.

[12] 1054.

[13] 1619.

[14] *To have fallen.* **δοκέω** in the sense *to seem* takes the infinitive in indirect discourse, usually in the personal construction. See note 1, Lesson XXXIX.

[15] *Those in the market-place*, 1225.

[16] Compound form.

[17] *About.*

[18] 926. For the following genitive, see 1153.

[19] Use the second aorist.

[20] 1181.

[21] Greek idiom, *having taken* (aorist participle) *the horsemen, he proceeded.*

[22] Use **γίγνομαι.**

[23] **ὡς.**

[24] **παρά.**

[25] **ἑπομένη**, 1586.

[26] That is, *as follows.* Use an adverb.

[27] **εἰς.**

915179

LESSON XLVI.

Verbs: First Passive Stem.

GRAMMAR: 456, VIII.; 707, 710; 717, the First Passive stem; 474,[1] VIII., 476, VIII., 478, VIII.; 480, 3,[2] the Aorist and Future Passive of λύω;[3] 1692, the stems and principal parts[4] of αἱρέω, γίγνομαι, ἔχω, πάσχω, πίπτω, and τρέχω.

Vocabulary.

αἱρέω (ἑλ-), αἱρήσω, ᾕρηκα, ᾕρημαι, ᾑρέθην; 2 a. εἷλον, — *to take;* mid. *to choose.*

ἁμαρτάνω (ἁμαρτ-[5]), ἁμαρτήσομαι, ἡμάρτηκα, ἡμάρτημαι, ἡμαρτήθην; 2 a. ἥμαρτον, — *to err, to do wrong.*

εὑρίσκω (εὑρ-), εὑρήσω, εὕρηκα, εὕρημαι, εὑρέθην; 2 a. ηὗρον, — *to find.*

ἥδομαι, ἡσθήσομαι, ἥσθην, — *to be pleased.*

λαμβάνω (λαβ-[5]), λήψομαι, εἴληφα, εἴλημμαι, ἐλήφθην; 2 a. ἔλαβον, — *to take, to capture.*

σφοδρός, -ά, -όν, — *vehement, severe:* neut. pl. with change of accent as adv. σφόδρα, *extremely.*

τρέπω, τρέψω, ἔτρεψα, τέτροφα[6] or τέτραφα, τέτραμμαι, ἐτρέφθην; 2 a. mid. ἐτραπόμην, — *to turn.*

ὑπηρέτης, -ου, ὁ, — *an underling, assistant, helper.*

Exercises.

I. 1. *τούτῳ τῷ τρόπῳ ἐπορεύθησαν σταθμοὺς τέτταρας.* 2. *ἐπὶ τῷ εὐωνύμῳ τοξευθῆναί τις ἐλέγετο.* 3. *κράτιστοι δὴ ὑπηρέται παντὸς ἔργου Κύρῳ ἐλέχθησαν γενέσθαι.* 4. *ἄνδρες, ἐάν μοι πεισθῆτε, τῶν ἄλλων πλέον προτιμηθήσεσθε στρατιωτῶν ὑπὸ Κύρου.* 5. *χρὴ αὐτὸν κριθέντα τῆς δίκης τυχεῖν.* 6. *Κῦρος οὐκ ἐξήχθη διώκειν.* 7. *οἱ δὲ πολέμιοι δείσαντες μὴ ἀποκλεισθείησαν ἔφευγον ἀνὰ κράτος.*

II. 1. *ὁ δὲ Κλέαρχος ἐταράχθη σφόδρα.* 2. *ἐκέλευσε δὲ τοὺς Ἕλληνας, ὡς νόμος*[7] *αὐτοῖς εἰς μάχην, οὕτω ταχθῆναι· ἐτάχθησαν οὖν ἐπὶ τεττάρων.* 3. *τούτοις ἥσθη Κῦρος.* 4. *ἱκανὰ γὰρ καὶ μικρὰ ἁμαρτηθέντα*[8] *πάντα συνεπιτρῖψαι.* 5. *χρή, ἐὰν ἐλεγχθῶσι, τούτους τιμωρηθῆναι.* 6. *οἱ δὴ στρατηγοὶ οὕτω ληφθέντες ἀνήχθησαν ὡς βασιλέα, καὶ ἀποτμηθέντες τὰς κεφαλὰς*[9] *ἐτελεύτησαν.*

III. 1. We proceeded to the river. 2. But on the next day heralds were sent. 3. I was compelled to pursue. 4. And breast-plates will be procured for them. 5. But the men were arrested[10] and sent to the king. 6. A few were left about him. 7. If we proceed homeward, will the king be pleased?

IV. 1. He was sent down by his father. 2. But he was dragged down from his horse. 3. This will

be found. 4. If this should be found, he would be punished. 5. The soldiers were drawn up[10] and forced to proceed. 6. Who of us will be chosen general? 7. The Greek cavalry were put to flight.

NOTES.

[1] Pages 97, 98, 99. [2] Page 104.

[3] Conjugate in the same manner the aorist and future passive of **λείπω** and **πράσσω**, and the aorist passive of **φαίνω**, through all the moods.

[4] The principal parts of these verbs are given in full in Lessons LVI.–LVIII.

[5] See note 7, Lesson XLV.; and for the augment of the perfect, 522 (*a*).

[6] 643. For the **α** in the perfect passive and second aorist middle, see 646.

[7] Sc. **ἦν**.

[8] Sc. **ἐστί**.

[9] 1239, last example.

[10] For the idiom, see II. 6, above, first part.

LESSON XLVII.

Verbs: Second Passive Stem.

GRAMMAR: 456, IX.; 712, 715; 717, the Second Passive stem; 478,[1] IX.; 482,[2] the Second Aorist and Second Future Passive of **φαίνω**;[3] 572, 574.

Vocabulary.

βοηθέω, βοηθήσω, etc. *reg.*, (**βοηθός**, *running to the battle-shout, aiding*, from **βοή** and **θέω**) — *to aid, to assist.*

ἐκ-πλήττω (πλαγ-, πληγ-), πλήξω, ἔπληξα, πέπληγμαι, ἐπλήχθην; 2 p. **πέπληγα**; 2 a. pass. **ἐπλήγην**,[4] — *to strike out of* one's senses, *to terrify.*

θάπτω (θαφ-), θάψω, ἔθαψα, τέθαμμαι; 2 a. ἐτάφην,[5]	*to bury.*
κατ-αλλάττω (ἀλλαγ-), ἀλλάξω, etc. *reg.*; 2 a. pass. ἠλλάγην, (κατά and ἀλλάττω[6])	*to reconcile.*
παρα-σκευάζω (σκευαδ-), σκευάσω, ἐσκεύασα, ἐσκεύασμαι, (παρά and σκεῦος[6])	*to make ready, to prepare.*
στρέφω, στρέψω, ἔστρεψα, ἔστραμμαι, ἐστρέφθην; 2 p. ἔστροφα; 2 a. pass. ἐστράφην,	*to turn.*
τήκω (τακ-), τήξω, ἔτηξα, ἐτήχθην; 2 p. τέτηκα (as pass.); 2 a. pass. ἐτάκην,	*to melt.*
φαίνω (φαν-), φανῶ, ἔφηνα, πέφαγκα, πέφασμαι, ἐφάνθην; 2 p. πέφηνα; 2 a. pass. ἐφάνην,	*to show;* mid. and pass. *to appear.*

Exercises.

I. 1. καὶ οἱ Ἕλληνες στραφέντες παρεσκευάζοντο. 2. τάφος δὲ οὐδεὶς πώποτε Ὀρόντα ἐφάνη. 3. καὶ ἐβουλευόμεθα σὺν αὐτοῖς ὅπως ἂν ταφείησαν[7] οἱ νεκροί. 4. φανήσονται τῶν λοχαγῶν ἄριστοι. 5. κατελήφθη ἐκπλαγείς τις. 6. ἔφασαν τοὺς λόχους κατακοπῆναι ὑπὸ τῶν Κιλίκων. 7. οἱ δὲ στρατιῶται συλλεγέντες ἐβουλεύοντο.

II. 1. ἐπιβουλεύει Κύρῳ, καὶ (*also*) πρόσθεν πολεμήσας, καταλλαγεὶς δέ. 2. ἡνίκα δὲ δεῖλη ἐγίγνετο, ἐφάνη κονιορτός. 3. καὶ ἐκέλευσεν εἰπεῖν

αὐτὸν ποῦ ἐπλήγη. 4. *ἐὰν δὲ οὗτος σφαλῇ, οὐ σπανίσει τῶν βοηθησόντων.* 5. *οὐ πολλῷ δὲ ὕστερον οἱ λοχαγοὶ κατακοπήσονται.* 6. *ἐτάκη δὲ ἡ χιὼν διὰ τὴν κρήνην.*

III. 1. The enemy did not appear on the second day, nor[8] on the third. 2. And the barbarians turned[9] and fled. 3. If he should march against the soldiers, they would be terrified. 4. When[10] our dead are buried, we will cross the river. 5. We were quickly reconciled.

IV. 1. Show yourselves the bravest of the soldiers. 2. He promised that the dead should be buried. 3. Mithridates appeared again with a thousand horsemen. 4. I was struck violently under the eye. 5. If they should be reconciled, the war would stop.

NOTES.

[1] Page 99.

[2] Page 107.

[3] Conjugate in like manner the second aorist and second future passive of **στέλλω** through all the moods.

[4] The second aorist and second future passive in compound verbs (as here) are **ἐπλάγην** and **πλαγήσομαι** (stem **πλαγ-**).

[5] 95, 5.

[6] For the derivation in full, see the general vocabulary.

[7] 1408 and 1327, 1328.

[8] **οὐδέ.**

[9] See note 9, Lesson XLVI.

[10] **ἐπειδάν** with the subjunctive, 1434.

LESSON XLVIII.

Verbs: Formation of the Present from the Simple Stem.

GRAMMAR: 567–621, inclusive.

Vocabulary.

αἰσθάνομαι (αἰσθ-[1]), αἰσθήσομαι, ἤσθημαι; 2 a. ἠσθόμην, *to perceive.*

εἶπον[2] (ἐπ-, ἐρ-), ἐρῶ, εἶπα, εἴρηκα, εἴρημαι, ἐρρήθην, *to say.*

θνήσκω (θαν-[3]), θανοῦμαι, τέθνηκα; 2 a. ἔθανον, *to die.*

κτείνω (κτεν-), κτενῶ, ἔκτεινα; 2 p. ἔκτονα;[4] 2 a. ἔκτανον,[4] *to kill.*

λανθάνω (λαθ-[1]), λήσω, λέλησμαι; 2 p. λέληθα; 2 a. ἔλαθον, *to escape the notice of:* mid. *to forget.*

τέμνω (τεμ-[3]), τεμῶ, τέτμηκα, τέτμημαι, ἐτμήθην; 2 a. ἔτεμον or ἔταμον, *to cut.*

τιτρώσκω (τρο-[5]), τρώσω, ἔτρωσα, τέτρωμαι, ἐτρώθην, *to wound.*

ὠθέω (ὠθ-), ὤσω, ἔωσα,[6] ἔωσμαι, ἐώσθην, *to push.*

Exercises.

I. 1. τὴν χιόνα εἴκαζον τετηκέναι. 2. οὗτοι λέγουσιν ὅτι Κῦρος τέθνηκεν. 3. ὑμεῖς δόξετε κα-

κοὶ εἶναι. 4. ἐκήρυξε τοῖς Ἕλλησι συσκευάζεσθαι. 5. εἷς δὲ δὴ εἶπε (*advised*) στρατηγοὺς ἑλέσθαι ἄλλους. 6. σφενδόνας πλέκειν ἐθέλει. 7. οἱ δ' ἐπείθοντο, πλὴν εἴ τίς τι ἔκλεψεν.[7] 8. Δαρείου[8] καὶ Παρυσάτιδος γίγνονται παῖδες δύο. 9. ὥστε βασιλεὺς τῆς πρὸς ἑαυτὸν ἐπιβουλῆς οὐκ ᾐσθάνετο.

II. 1. ταῦτα εἰπὼν ἐπαύσατο. 2. νῦν γὰρ ἴσως καὶ ὑμεῖς τούτου αἰσθάνεσθε. 3. ἔλεξεν ἃ ἐγίγνωσκεν. 4. ὡς δ' ᾔσθετο Κῦρον πεπτωκότα,[9] ἔφυγεν. 5. τὰ δ' ἅρματα ἐφέροντο διὰ αὐτῶν τῶν πολεμίων. 6. καὶ ὃς[10] ὠθεῖται αὐτὸν ἐκ τῆς τάξεως. 7. ἄνευ γὰρ ἀρχόντων οὐδὲν ἂν οὔτε καλὸν οὔτε ἀγαθὸν γένοιτο. 8. οἱ ἰατροὶ κάουσι καὶ τέμνουσιν ἐπ' ἀγαθῷ. 9. σκέψασθε εἰ κρεῖττον[11] αὐτὸν ἡγεμόνα ἔχειν.

III. 1. They concealed this. 2. He tried to escape the notice of the enemy. 3. But they flee through their own encampment. 4. And he wounds him through his breastplate. 5. Cyrus, therefore, went up with[12] three hundred hoplites. 6. You are not willing to obey. 7. And being pressed by his opponents he comes to Cyrus.

IV. 1. But we will fight with[13] these. 2. But I am exceedingly fatigued. 3. Let him remember[14] to be a brave man. 4. They killed all the slaves. 5. But I will choose you. 6. I should not wonder, therefore, if the enemy followed us. 7. But the soldiers kept knocking at the gate.

NOTES.

[1] See note 7, Lesson XLV.

[2] A second aorist, the present and imperfect being supplied by **λέγω** and **φημί**. **εἶπον** comes from **ἐ-Fε-Fεπ-ον**, **ἐ-(F)επ-ον**, a reduplicated second aorist. Cf. **ἔπος**, **Fεπος**, *word*. **εἶπα** is a first aorist. In the perfect, and in the aorist passive the stem **ἐρ-** becomes **ῥε-**, 649 (2). The perfect, further, reduplicates according to 522.

[3] 649 (1).

[4] 643, 645, 646.

[5] 616.

[6] 537.

[7] The English will use a pluperfect.

[8] 1094, 6.

[9] *That Cyrus had fallen.*

[10] 1023, 2, second paragraph.

[11] Sc. **ἐστί**.

[12] **ἔχων**.

[13] **σύν**.

[14] Use the perfect imperative middle.

LESSON XLIX.

Verbs: Regular in MI, ἵστημι.

GRAMMAR: 506, the inflection of **ἵστημι** throughout;[1] 564, 1–6, 627, 628; 502 (read 500, 501); 632, 723, 724, 729, 739, 740, 742, 753, 754, 755, 756, 766, 794; 504, the *synopsis* of **ἵστημι** in the Present and Second Aorist Systems; 509, the *synopsis* of the Indicative of **ἵστημι**;[2] 335, the declension of **ἱστάς**.

Vocabulary.

ἄγαμαι, ἠγάσθην,	*to admire.*
βαίνω (βα-, βαν-[3]), βήσομαι, βέβηκα; 2 a. **ἔβην,**	*to go.*
δύναμαι, δυνήσομαι, δεδύνημαι, ἐδυνήθην,[4]	*to be able.*
ἐπίσταμαι, ἐπιστήσομαι, ἠπιστήθην,	*to understand.*

ὁράω (ὀπ-, ἰδ-), ὄψομαι, ἑώρακα[5] or ἑόρακα, ἑώραμαι or ὤμμαι, ὤφθην; 2 a. εἶδον,	*to see.*
πίμπλημι (πλα-), πλήσω, ἔπλησα, πέπληκα, πέπλησμαι, ἐπλήσθην,	*to* FILL.
φθάνω (φθα-), φθάσω and φθήσομαι, ἔφθασα; 2 a. ἔφθην,[6]	*to get before, to anticipate.*
ὠνέομαι, ὠνήσομαι, ἐώνημαι,[7] ἐωνήθην (classic writers use ἐπριάμην, 505, for the later ὠνησάμην),	*to buy.*

Exercises.

I. 1. οἱ δὲ πολέμιοι οὐκέτι ἔστησαν. 2. οἱ μετὰ Ἀριαίου οὐκέτι ἵστανται, ἀλλὰ φεύγουσιν. 3. ἐάν τι δύνωμαι, ταῦτα ποιήσω. 4. οὐ γὰρ ἂν δύναιντο πορευθῆναι. 5. στήτωσαν οἱ ὁπλῖται. 6. τὸ δὲ στράτευμα ὁ σῖτος ἐπέλιπε, καὶ πρίασθαι οὐκ ἦν. 7. ὡς δ' ἀνέβησαν, θύσαντες καὶ τρόπαιον στησάμενοι κατέβησαν εἰς τὸ πεδίον. 8. ἀνέστησαν οἱ Ἕλληνες καὶ εἶπον ὅτι ὥρα νυκτοφύλακας καθιστάναι. 9. προπυθόμενος ταῦτα ἔφθη εἰς τὴν πόλιν ἀπελθών.[8]

II. 1. ἀλλὰ μὴν καὶ τοῦτό γε ἐπίστασθε. 2. Κῦρος δέ, ψιλὴν ἔχων τὴν κεφαλήν, εἰς τὴν μάχην καθίστατο. 3. ἀεὶ ἔγωγε ἡγάμην τὴν σὴν φύσιν. 4. ἐκ τούτου Ξενοφῶν ἀνίσταται ἐσταλμένος ἐπὶ πόλεμον ὡς ἐδύνατο κάλλιστα.[9] 5. ἀλλ' εὖ ἐπιστάσθωσαν ὅτι οὐκ ἀποπεφεύγασιν. 6. ἐβουλεύοντο ὅπως ἂν κάλλιστα διαβαῖεν. 7. καὶ οὔτε ἀνελέσθαι

οὔτε θάψαι αὐτὼ ἐδυνάμεθα. 8. ἐὰν δὲ διαβῶμεν, ἡμῖν τιμὴν οἴσει εἰς τὸν ἔπειτα χρόνον.

III. 1. And accordingly Cyrus went up on the mountains. 2. For it will not be possible to purchase food. 3. He halted the soldiers. 4. Cyrus halted. 5. They kept filling the skins with grass.[10] 6. On seeing this he mounted his horse and rode away.

IV. 1. He was not able to sleep. 2. You must[11] cross the river. 3. He collected an army in order to be able to defeat the king. 4. And they raised them up. 5. But then these cities had revolted[12] to Cyrus. 6. For if he should go up on the mountains, I should follow.

NOTES.

[1] In this and the next three Lessons analyze with care, according to the directions given in note 4, Lesson XLV. In this connection, see 724, 1, and 739, 740. For the accent of the present infinitive and present participle active, see 131, 4 and 5. For the division of verbs in μι into two independent classes, see note 6, Lesson LVI.

[2] In the active voice the second aorist **ἔστην**, *I stood*, perfect **ἕστηκα**, *I am standing*, pluperfect **ἱστήκειν**, *I was standing*, and future perfect **ἑστήξω** (705), *I shall stand*, are intransitive. This is true both of the simple verb and of its numerous compounds.

[3] 610. The perfect and aorist passive, **βέβαμαι** and **ἐβάθην**, occur only in composition.

[4] 517. [5] 538.

[6] Both aorists occur in Attic Greek, but the first is commoner in Xenophon.

[7] 537. [8] 1586.

[9] Literally, *as he was able most handsomely*, i.e. *as handsomely as possible*. This is the origin of the use of ὅτι and ὡς explained in note 4, Lesson XXXIV. [11] **χρή**.

[10] 1113. [12] Pluperfect active of **ἀφ-ίστημι**.

LESSON L.

Verbs: Regular in MI (*continued*), **τίθημι.**

GRAMMAR: 506, the inflection of **τίθημι** throughout[1]; 564, 1–6, 627, 628, 630; 502, 723, 724, 739, 740, 741, 794; 504, the *synopsis* of **τίθημι** in the Present and Second Aorist Systems; 509, the *synopsis* of the Indicative of **τίθημι**[2]; 335, the declension of **τιθείς.**

Vocabulary.

βακτηρία, -ας, ἡ, (**βαίνω**)	*a staff.*
γόνυ, -ατος, τό,	KNEE.
δέω and **δίδημι, δήσω, ἔδησα, δέδεκα, δέδεμαι, ἐδέθην,**	*to bind.*
δίκη, -ης, ἡ,	*right, justice, penalty.*
κύων,[3] **κυνός, ὁ** or **ἡ,**	*a dog.*
ξηραίνω (**ξηραν-**), **ξηρανῶ, ἐξήρανα, ἐξήρασμαι, ἐξηράνθην,** (**ξηρός,** *dry*)	*to dry.*
πλέω (**πλυ-**[4]), **πλεύσομαι** or **πλευσοῦμαι, ἔπλευσα, πέπλευκα, πέπλευσμαι,**	*to sail.*
φόβος, -ου, ὁ, (**φέβομαι,** *to flee affrighted*)	*fear, fright.*

Exercises.

I. 1. **ἐπιθήσεται ἡμῖν.** 2. **καὶ κελεύουσι φυλάττεσθαι, μὴ ὑμῖν ἐπιθῶνται τῆς νυκτὸς**[5] **οἱ βάρβαροι.** 3. **τὴν δίκην χρῄζω ἐπιθεῖναι αὐτῷ.** 4. **τούτους δὲ ἐκέλευε θέσθαι τὰ ὅπλα περὶ τὴν αὐτοῦ σκηνήν.**

5. ἐνταῦθα ἀνετίθεσαν βακτηρίας καὶ τὰ αἰχμάλωτα γέρρα. 6. παρὰ τοὺς θεοὺς ἡμεῖς τὴν φιλίαν συνθέμενοι κατεθέμεθα. 7. καὶ οἰκίαν οὐδεμίαν ἔλιπεν, ὅπως φόβον ἐνθείη τοῖς ἄλλοις. 8. οὐκέτι ἐπετίθεντο οἱ πολέμιοι τοῖς καταβαίνουσι, δεδοικότες μὴ ἀποτμηθείησαν.

II. 1. καὶ ἐν τάξει θέμενοι τὰ ὅπλα συνῆλθον οἱ στρατηγοὶ καὶ λοχαγοὶ παρὰ Ἀριαῖον. 2. τοὺς μὲν ὁπλίτας αὐτοῦ ἐκέλευσε μεῖναι, τὰς ἀσπίδας πρὸς τὰ γόνατα θέντας. 3. τοὺς γὰρ κύνας τοὺς χαλεποὺς τὰς ἡμέρας διδέασι. 4. τὰς δὲ βαλάνους τῶν φοινίκων ξηραίνοντες τραγήματα ἀπετίθεσαν. 5. τοῖς τελευταίοις ἐπέθεντο, καὶ ἀπέκτειναν τινας. 6. καὶ ἐμβάντες εἰς πλοῖον, καὶ τὰ πλείστου ἄξια ἐνθέμενοι, ἀπέπλευσαν.

III. 1. The hoplites stood under arms. 2. They feared that the Greeks would attack them during the night. 3. He will inflict punishment on them. 4. They are about to attack us. 5. They halted under arms near the general's tent. 6. They grounded arms beside the river.

IV. 1. Fear that he may take[6] me and inflict punishment on (me). 2. They set before them on the same table meats of all kinds. 3. The army will go up[6] on the hill and attack the enemy. 4. The enemy attacked them vigorously.

NOTES.

[1] See note 1, Lesson XLIX.
[2] See 670, and 95, 5.
[3] 291, 18.
[4] 574. On the second form of the future, see 666.
[5] 1136.
[6] Use a participle.

LESSON LI.

Verbs: Regular in MI (*continued*), δίδωμι.

GRAMMAR: 506, the inflection of δίδωμι throughout; 564, 1–6, 627, 628, 630; 502, 723, 727, 739, 794; 504, the *synopsis* of δίδωμι in the Present and Second Aorist Systems; 509, the *synopsis* of the Indicative of δίδωμι[1]; 335, the declension of διδούς.

Vocabulary.

ἁλίσκομαι (ἁλ-, ἁλο-), ἁλώσομαι, ἥλωκα or ἐάλωκα; 2 a. ἥλων[2] or ἐάλων,	*to be captured.*
γιγνώσκω (γνο-), γνώσομαι, ἔγνωκα, ἔγνωσμαι, ἐγνώσθην; 2 a. ἔγνων,	*to* KNOW.
ἐρωτάω,[3] ἐρωτήσω, etc. *reg.*,	*to inquire.*
θυσία, -ας, ἡ, (θύω)	*a sacrifice.*
πιπράσκω[4] (πρα-), πέπρακα, πέπραμαι, ἐπράθην,	*to sell.*
στερέω, στερήσω, etc. *reg.*,	*to deprive.*
σύνθημα, -ατος, τό, (συν-τίθημι)	*an agreement, a password.*
σῶμα, -ατος, τό,	*the body.*

Exercises.

I. 1. δίδωσι δὲ αὐτῷ Κῦρος μυρίους δαρεικούς. 2. μετὰ ταῦτα ἐδίδοτο λέγειν τῷ βουλομένῳ. 3. ἐνταῦθα δὲ μενοῦσιν, ἐὰν μή τις αὐτοῖς χρήματα διδῷ. 4. ἠρώτων ἐκεῖνοι, εἰ[5] δοῖεν ἂν τούτων τὰ πιστά. 5. καὶ δοῦναι καὶ λαβεῖν πιστὰ ἐθέλομεν. 6. καὶ ὑμεῖς μὴ ἐκδῶτέ με. 7. ἀναγνοὺς τὴν ἐπιστολὴν ἀνακοινοῦται Σωκράτει. 8. καὶ ἵπποι ἦλωσαν εἰς[6] εἴκοσι, καὶ ἡ σκηνὴ ἑάλω.

II. 1. παραδόντες δ' ἂν τὰ ὅπλα καὶ τῶν σωμάτων[7] στερηθείημεν. 2. οὐ γὰρ ἔγωγ' ἔτι πρεσβύτερος ἔσομαι, ἐὰν τήμερον προδῶ ἐμαυτὸν τοῖς πολεμίοις. 3. ταῦτα καὶ σέσωσται δι' ὑμᾶς τῇ στρατιᾷ καὶ παραδίδωμι αὐτὰ· ἐγὼ ὑμῖν, ὑμεῖς δὲ διαθέμενοι διάδοτε τῇ στρατιᾷ. 4. ἀκούσαντες ταῦτα, καὶ δεξιὰς δόντες καὶ λαβόντες, ἀπήλαυνον. 5. ἐάν τις ἁλῷ ἔνδον τῶν στρατιωτῶν, πεπράσεται.[8] 6. πρόσθεν ἂν ἀποθάνοιμεν ἢ τὰ ὅπλα παραδοίημεν.

III. 1. And they gave the village-chief (liberty[9]) to take this. 2. And he did not pay them.[10] 3. And they bound the guide and gave (him) over to them. 4. But the soldiers knew this. 5. They gave the Greeks a barbarian spear.

IV. 1. And when the sacrifice had been made,[11] they gave over the hides to the Spartan. 2. And they said that (it was) time[12] to pass along the watch-

word. 3. And she was said to have given[13] much money to Cyrus. 4. They proceeded with[14] the captured man (as) guide.

NOTES.

[1] 670.

[2] The second aorist is inflected like that of **γιγνώσκω**, 803, 2. For the enlarging of the simple stem, see 659, and observe, further, that **ἁλίσκομαι** serves as a passive to **αἱρέω**.

[3] The aorist generally in use in this sense in Attic is **ἠρόμην** from **ἔρομαι**.

[4] The Attic uses **ἀποδώσομαι** and **ἀπεδόμην** in the future and aorist.

[5] 1605.

[6] *About.*

[7] 1117.

[8] Future perfect of **πιπράσκω**.

[9] Cf. I. 2.

[10] Greek idiom, *did not give them pay.*

[11] *When . . . had been made,* **ἐπειδὴ . . . ἐγένετο.**

[12] **ὥρα.**

[13] Use the aorist infinitive, 1522, and see note 1, Lesson XXXIX.

[14] **ἔχοντες.**

LESSON LII.

Verbs: Regular in MI (*continued*), δείκνυμι.

GRAMMAR: 506, the inflection of **δείκνυμι** throughout (read 505); 627, 628, 631; 728, 743, 797; 504, the *synopsis* of **δείκνυμι** in the Present and Second Aorist Systems; 509, the *synopsis* of the Indicative of **δείκνυμι**; 335, the declension of **δεικνύς**.

Vocabulary.

ἀπ-όλλυμι (**ὀλ-**[1]), **ὀλῶ**, **ὤλεσα**, **ὀλώλεκα**; 2 p. **ὄλωλα**, *to be undone;* 2 a. mid. **ὠλόμην**,	*to destroy utterly, to lose:* mid. *to perish.*
ἕπομαι (**σεπ-**), **ἕψομαι**, **ἑσπόμην**,[2]	*to follow.*

ζεύγνυμι (ζυγ-[3]), ζεύξω, ἔζευξα, ἔζευγμαι, ἐζεύχθην; 2 a. pass. ἐζύγην,	*to* YOKE, *to join.*
κατα-δύω, δύσω, etc. *reg.*; 2 a. ἔδυν,[4]	*to make to sink down, to sink.*
ὄμνυμι (ὀμ-, ὀμο-[5]), ὀμοῦμαι, ὤμοσα, ὀμώμοκα, ὀμώμοσμαι, ὠμόθην or ὠμόσθην,	*to swear.*
πήγνυμι (παγ-[3]), πήξω, ἔπηξα; 2 p. πέπηγα, *to be fixed;* 2 a. pass. ἐπάγην,	*to fix, to freeze.*
πνέω (πνυ-), πνεύσομαι or πνευσοῦμαι,[6] ἔπνευσα, πέπνευκα,	*to blow, to breathe.*
συμ-μίγνυμι (μιγ-), μίξω, ἔμιξα, μέμιγμαι, ἐμίχθην; 2 a. pass. ἐμίγην,	*to* MIX *with.*

Exercises.

I. 1. ἀλλήλοις συμμιγνύασιν. 2. ἄλλοις ἐπιδείκνυνται. 3. καὶ ἄνεμος ἐναντίος ἔπνει πηγνὺς τοὺς ἀνθρώπους. 4. ἀπεδείκνυντο οἱ μάντεις πάντες γνώμην. 5. τοὺς ἄνδρας αὐτοὺς οἷς ὤμνυτε ἀπολωλέκατε. 6. πολλὰ τῶν ὑποζυγίων ἀπώλλυτο ὑπὸ λιμοῦ. 7. δίκαιον[7] γὰρ ἀπόλλυσθαι τοὺς ἐπιορκοῦντας. 8. καὶ ἀποτεμόντες τὰς κεφαλὰς τῶν νεκρῶν, ἐπεδείκνυσαν τοῖς ἑαυτῶν πολεμίοις.

II. 1. καὶ αὐτόν τε ἀποκτιννύασι καὶ τοὺς ἄλλους πάντας. 2. τὸ ὕδωρ, ὃ ἐφέροντο ἐπὶ δεῖπνον, ἐπή-

γνυτο. 3. τούτοις τοῖς δεσμοῖς ἐζεύγνυν τοὺς ἀσκοὺς πρὸς ἀλλήλους. 4. πᾶς γὰρ ἀσκὸς δύο ἄνδρας ἔξει τοῦ μὴ καταδῦναι.[8] 5. οἱ συνεπόμενοι ἀπώλλυντο. 6. ὥστε ὥρα[7] καὶ σοὶ ἐπιδείκνυσθαι τὴν παιδείαν.

III. 1. They show the soldiers the tracks of the horses. 2. Hereupon he expresses his opinion. 3. They showed their plan to the soldiers. 4. He wishes to show justice. 5. As he says this,[9] somebody sneezes. 6. The wind is freezing the beasts of burden.

IV. 1. Let some one express his opinion. 2. When he heard this,[10] he sank down in shame.[11] 3. After this (one) another arose, pointing out the folly of the man. 4. For the seers declare that there will be a battle.

NOTES.

[1] 612.

[2] For an original **σε-σ(ε)π-ομην** (a reduplicated second aorist).

[3] This verb belongs to both class V. and class II.

[4] There are two forms of the present, **δύω** and **δύνω**, the first transitive, the second intransitive. All the forms of the middle, with the perfect and second aorist active, are also intransitive, *to sink down*.

[5] 659.

[6] 666. The perfect in Attic Greek occurs only in composition.

[7] Sc. **ἐστί**.

[8] 1549, last example.

[9] 1568.

[10] 1563, 1.

[11] **ὑπό** with the genitive. See also 944.

LESSON LIII.

Verbs: Second Perfect and Pluperfect of the MI-Form.

GRAMMAR: 507, 508; 804 (read simply); 820.

Vocabulary.

ἀγών, -ῶνος, ὁ, (ἄγω)	*an assembly, games, a contest.*
δένδρον, -ου, τό,	*a tree.*
διδάσκω (διδαχ-[1]), διδάξω, etc. *reg.*,	*to teach.*
δίκαιος, -α or -ος, -ον, (δίκη)	*just, right.*
ἐλευθερία, -ας, ἡ, (ἐλεύθερος, *free*)	*freedom, liberty.*
οἴχομαι, οἰχήσομαι, οἴχωκα[2] or ᾤχωκα,	*to be gone.*
συμμαχία, -ας, ἡ, (σύμμαχος, συμμάχομαι)	*an alliance.*
ὑπισχνέομαι,[3] ὑποσχήσομαι, ὑπέσχημαι; 2 a. mid. ὑπεσχόμην, (ὑπό and ἔχω)	*to promise.*

Exercises.

